ἢ γόον ὡς πεπραγμένων;
οὐ μὰν οὐδέ τις ἀμφιπόλων
στατίζεται ἀμφὶ πύλας.
εἰ γὰρ μετακύμιος ἄτας,
ὦ Παιάν, φανείης.
ΗΜΙΧ. οὔ τἂν φθιμένης γ' ἐσιώπων.
ΗΜΙΧ. νέκυς ἤδη.
ΗΜΙΧ. οὐ δὴ φροῦδός γ' ἐξ οἴκων.
ΗΜΙΧ. πόθεν; οὐκ αὐχῶ. τί σε θαρσύνει;
ΗΜΙΧ. πῶς ἂν ἔρημον τάφον Ἄδμητος
. . . . . .
κεδνῆς ἂν ἔπραξε γυναικός;
ΧΟ. πυλῶν πάροιθε δ' οὐχ ὁρῶ antistr.
πηγαῖον ὡς νομίζεται
χέρνιβ' ἐπὶ φθιτῶν πύλαις,
χαίτη τ' οὔτις ἐπὶ προθύροις
τομαῖος, ἃ δὴ νεκύων
πένθει πίτνει· οὐδὲ νεολαία
δουπεῖ χεὶρ γυναικῶν.
ΗΜΙΧ. καὶ μὴν τόδε κύριον ἦμαρ,
ΗΜΙΧ. τί τόδ' αὐδᾷς;
ΗΜΙΧ. ᾧ χρή σφε μολεῖν κατὰ γαίας.
ΗΜΙΧ. ἔθιγες ψυχᾶς, ἔθιγες δὲ φρενῶν.
ΗΜΙΧ. χρὴ τῶν ἀγαθῶν διακναιομένων
πενθεῖν ὅστις
χρηστὸς ἀπ' ἀρχῆς νενόμισται.
ΧΟ. ἀλλ' οὐδὲ ναυκληρίαν str.
ἔσθ' ὅποι τις αἴας
στείλας ἢ Λυκίας
εἴτ' ἐπὶ τὰς ἀνύδρους
Ἀμμωνιάδας ἕδρας
δυστάνου παραλύσαι

---

90. *στατίζεται*] Hermannus, *στατίζετ'* libri. 92. *ὦ*] Matthiae, *ἰώ* libri. 93. *φθιμένας* libri. 94. *ΗΜ. νέκυς ἤδη. ΗΜ. οὐ δὴ φροῦδός γ' ἐξ οἴκων*]. *ΗΜ. οὐ γὰρ δὴ φροῦδός γ' ἐξ οἴκων νέκυς ἤδη* (*ἤδη νέκυς B*) libri. 98. *ΗΜΙΧ.* libri. 100. *φθιτῶν BC φθιμένων* ceteri. 103. *πένθεσι BC* 107. 108. invertunt *BC*.